*στην ἐτυμολογικὴν ἔρευναν περὶ τοῦ ὀνόματος συγκεκριμένου τινὸς* ***πράγματος*** *τότε μόνον πείθεταί τις ὅτι ἀφίκετο εἰς τὸ τέρμα, ὅταν τὸ ἐρευνώμενον* ***ὄνομα*** *ἐπανάγῃ εἰς λέξιν ἐκφράζουσαν ἰδιότητά τινα»* [15], — τυγχάνει αὐτονόητον ὅτι, δεδομένης τῆς χρήσεως «**κινῶ ὀδύνην**», τοῦτ' αὐτὸ κατὰ μείζονα λόγον ἰσχύει καὶ περὶ τῆς ἐν λόγῳ ἀφῃρημένης λέξεως - ἐννοίας **κίνδυνος**.

## ΘΗΡΑ *

'Οφλήσεθ' ὕβριν τοῖσδ' ἐν ἐρειπίοις
Θήραν θέλοντες οἰκοδομεῖν πάλιν
βάθρου πάρεγγυς Ταρταρείου
τοῖς τ' ἀτάφοις νεκάσιν σύνοικοι.

"Ηδη λέλησθ' ἄρ, οἷα πεπόνθαμεν
κείναις ἐν ὥραις ὡς ἔθανον φίλοι
γονεῖς, ἀδελφοί, παῖδες αἰσχρῶς —
φεῦ ὑπερηφανίας ταχείας !

Τότ' ἦτ' ἄτολμοι, ναὸς ἐπεὶ μέγας
ἔκειτ' Ἀπόλλωνος νέκυος δίκην
πυριφλέγων τ' ὄρους νεώρους
εὖτ' ἀνέδυ κορυφὴ θαλάσσης.

Βροντῆς ἐφετμὴν τῆς Διόθεν μάτην
ἠκούσαθ' «"Ηφαιστος τεμένη τάδε
πυριφλεγὴς τε καὶ Ποσειδῶν
μοιριδίαν ἔλαχον παλαίστραν.»

'Αλλ' ἐξίωμεν, μὴ κατακοπέντες
λίθοις πατρῴοις πάντες ὀλώμεθα,
θεοστυγῆ τ' ἐῶντες αἶαν
εἰς Λιβύης πεδί' ἐκπλέωμεν . . .

Δῆμος δ' ἀπειθεῖ, θαρραλέως πόλιν
ἁγνοῖς θεμέθλοις ἐξανύει νέαν
ὑπέρ τε Ταρτάρου φάραγγος
καλλίον, οἰκοδομοῦσι Θήραν.

W. Kuchenmüller — Stuttgart

* 'Εκ προσφάτου ἐπισκέψεως τῆς νήσου καὶ τῆς θέας τῶν ἀναστηλώσεων τῶν οἰκημάτων τοῦ 1500 π.Χ. ἐνεπνεύσθη τοὺς κατωτέρω στίχους ὁ φιλέλλην ποιητής.

15) Βλ. Whitney — Jolly — Γ. Ν. Χατζιδάκι : 'Αναγνώσματα περὶ τῶν γενικῶν ἀρχῶν τῆς Συγκριτικῆς Γλωσσικῆς, ἐν 'Αθήναις 1898, σ. 594 κέξ.